Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite XLIX



ἐκτραχηλιαθέντας, τῷ ἐκ Θεοῦ φόβῳ καὶ τῷ τοῦ μέλλοντος δικαιωτηρίου κρίματι. ὁ δὲ λη΄. τὴν καλλίω εὐλάβειαν ἐκδιδάσκει. ὁ δὲ λθ΄. πρὸς τοὺς ἐξ οἰκείας ἐκπίπτοντας ἀμελείας, καὶ προφασιζομένους προφάσεις ἐν ἁμαρτίαις. ὁ δὲ μ΄. πρὸς ἀδελφόν ἐστιν ἐκπεσόντα, καὶ περὶ μετανοίας. ὁ δὲ μα΄. ὡς οὐ δεῖ ὀμνύειν, οὐδὲ δυσφημεῖν, παραινεῖ· ὁ δὲ μβ΄. συνίστησιν, ὡς δίκαια πέπονθεν Ἡλεὶ ὁ ἐν τῷ νόμῳ ἱερεύς, πρὸς τὴν περὶ αὐτοῦ τούτου ἐπιδιστάζοντα. περὶ δὲ φόβου Θεοῦ ὁ μγ΄. καὶ περὶ ἀγάπης ὁ μδ΄. ὁ δὲ με΄. πρὸς Εὐλόγιον μὲν αἰτήσαντα γράφεται, πλειόνως δὲ κατορθωμάτων παραινέσεις, καὶ διδασκαλίαν ἀναπτύσσει. ὁ δὲ μϛ΄. καὶ μὴν πρὸς ἀκηδιαστὴν ἐστι μοναχὸν συντεθειμένος, πολλὰς καὶ καλὰς ὑποθήκας ἀπάγων αὐτὸν τῆς πρὸς τὸν βίον ἐπανόδου. ὁ δὲ μζ΄. καταδρομὴν ποιεῖται τῆς κακοηθείας· ὁ δὲ μη΄. ὅσον διενήνοχεν ὁ μοναδικὸς βίος τῆς ἐν κόσμῳ πολιτείας, ἐπιδεικνύει. ὁ δὲ μθ΄. τὴν δευτέραν τοῦ Κυρίου διατυποῖ παρουσίαν, καὶ παρακαλεῖ πρὸς μετάνοιαν τοὺς ἀνθρώπους.

Ἐν τούτοις τοῖς παραινετικοῖς λόγοις τοῦ ἁγίου, θαυμάσειεν ἄν τις, ὅσον μὲν ἐμβαθύνεται τὸ πειθὸν, ὅσον δ' αὐτῶν ἀποστάζει τὸ ἡδύνον, καὶ ὅλως εἰς ὅσον βρύει τὸ ἦθος· ἡ δὲ λέξις καὶ τὰ σχήματα, οὐ θαυμαστὸν εἰ πρὸς τὸ κοινότερον τῆς ὁμιλίας καὶ ἠμελημένον νένευκεν. οὐ γὰρ εἰς τὸν γεννήτορα τῶν νοημάτων, ἀλλ' εἰς τὸν ταῦτα μεταφρασάμενον, ἡ αἰτία διαλαμβάνει. ἐπεὶ οἵ γε τῆς Σύρας φωνῆς τὴν ἀκρίβειαν ἠσκημένοι, ἐπὶ τοσοῦτον ταῖς λέξεσι καὶ τοῖς σχήμασιν αὐτὸν ἴσασιν εὐδοκιμῆσαι, ὡς ἀμφήριστον εἶναι, πότερον διὰ ταῦτα, ἢ διὰ τὸν ἐν αὐτοῖς νοῦν, ἡ τοσαύτη χάρις καὶ δύναμις τῶν ἐκείνου πρόεισι λόγων. οὐ θαυμαστὸν οὖν ἡ τῆς φράσεως ταπεινότης· ἀλλ' ἐκεῖνο θαυμαστὸν, ὡς καὶ διὰ χυδαιότητος τοιαύτης ῥημάτων τηλικαύτη σωτηρία καὶ ὠφέλεια τοῖς προσέχουσι προχεῖται.

Τῆς δὲ αὐτῆς ἐστιν ἠρτημένος καὶ χάριτος καὶ δυνάμεως καὶ ὁ περὶ ταπεινοφροσύνης λόγος, κεφαλαίοις ἑκατὸν συμπληρούμενος. ὡσαύτως δὲ καὶ ὁ λόγος, ὁ περὶ τοῦ ὅτι μὴ χρὴ γελᾶν καὶ μετεωρίζεσθαι, ἀλλ' ἐν πένθει μᾶλλον διατελεῖν· οὐ ψεύδεται τὴν πρὸς ἀλλήλους συγγένειαν.

Ὡσαύτως δὲ ὁ πρὸς Μετεβίνους μοναχοὺς αὐτῷ διειλημμένος· ὃς πραότητα μὲν ἐκδιδάσκει, πονηρίαν δὲ ἀποτρέπει· καὶ πρὸς μὲν μακροθυμίαν ἄγει, ὀξύχολον δὲ διελέγχει· καὶ τὴν μὲν ὑπομονὴν μακαρισμοῦ πρόξενον δεικνύει, τοῦ δὲ ὀλιγώρου τὸ ἄθλιον στηλιτεύει. καὶ τὸν μὲν θεῖον φόβον, τῆς ἀϊδίου εὐφροσύνης χορηγὸν κατασκευάζει, τὴν δὲ καταφρο-



A tremum interitus præcipitarint) cum Dei metu, tum justo judicio futuro compescit. 38. Rectam pietatem edocet. 39. Ad eos, qui sua negligentia labuntur, & excusationes deinde excusant in peccatis. Quadragesimus ad Fratrem lapsum habitus est, & agit de pœnitentia. 41. Suadet a juramento, ac maledicentia abstinendum. 42. Colligit juste punitum Heli sacerdotem legis: ad eum qui hac ipsa de re dubi- B tabat. De timore porro Dei quadragesimo tertio sermone differit; ut & de dilectione quadragesimo quarto. 45. Multarum virtutum admonitiones, ac doctrinam ad Eulogium, qui hæc postularat, explicat. 46. Ad negligentem & ignavum monachum habitus, argumentis pulchris ac variis a reditu ad sæcularem vitam revocare illum studens. 47. Reprehensio est pravorum morum. 48. Quantum differat solitaria vita a C sæculari, ob oculos ponit. 49. Secundum Christi adventum describit, & ad pœnitentiam homines hortatur.

In his admonitoriis sancti Viri sermonibus jure quis admiretur, quam alte penetret persuadendi vis, quantumque ab his fluat jucunditatis, quam denique affectuum copia referti sint. Oratio tamen ejus ac figuræ, nihil mirum, si ad consuetum homiliarum usum, & inela- D boratum dicendi genus vergant. Non enim in Auctorem sensuum, sed in horum interpretem ea conferenda culpa. Qui namque Syriacæ sunt linguæ bene periti, verbis adeo ac tropis excellere norunt, ut ambiguum sit, ab hisne, an a sensu recondito tanta ejus dicendi vis, atque elegantia proficiscatur. Quamobrem non tam dictionis humilitas admiranda, quam illud suspiciendum, quomodo per tan- E tam verborum vilitatem tanta salus, atque utilitas in legentes velut effundatur.

Eadem est refertus dicendi vi, & gratia ejusdem de humilitate, suique despectione sermo in centum productus capita. Ut nec illa mutuam cum superioribus affinitatem, ac similitudinem falso indicat oratio, qua ridere, atque extolli negat oportere, sed in mœrore potius degendum esse.

F Ad eundem modum & illa ad Metebinos monachos ab ipso habita oratio, quæ ut lenitatem, ac mansuetudinem docet, ita malitiam fugiendam suadet, ducitque ad longanimitatem, iracundia reprehensa. Sic patientia cœlum parari, ac beatitudinem ostendit, animi simul abjecti prolatam miseriam exponens. Timorem insuper Dei, qui sapientiæ æternæ auctor est,



ac

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0093
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg